ἐν οἷς ἐστι καὶ ὁ πρὸς Ἀντωνῖνον ἱκανώτατος αὐτοῦ περὶ εἱμαρμένης διάλογος· ὅσα τε ἄλλα φασὶν αὐτὸν προφάσει τοῦ τότε διωγμοῦ συγγράψαι. ἦν δ' οὗτος πρότερον τῆς κατὰ Οὐαλεντῖνον σχολῆς· καταγνοὺς δὲ ταύτης, τὰ πλεῖστά τε καὶ τοῦτον μυθοποιίας ἀπελέγξας, ἐδόκει μὲν πως αὐτὸς ἑαυτὸν ἐπὶ τὸ ὀρθότερον τῆς γνώμης μεταθέσθαι· οὐ μήν γε παντελῶς ἀπερρίψατο τὸν τῆς παλαιᾶς αἱρέσεως ῥύπον. ἐν τούτῳ γε μὴν καὶ ὁ τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ τελευτᾷ. + ἐκκλησιαστικῆς ἱστορίας δ'

Τάδε καὶ ἡ πέμπτη περιέχει βίβλος τῆς ἐκκλησιαστικῆς ἱστορίας:

α Ὅσοι καὶ ὅπως κατὰ Οὐῆρον ἐπὶ τῆς Γαλλίας τὸν ὑπὲρ τῆς εὐσεβείας διεξῆλθον ἀγῶνα.
β Ὡς οἱ θεοφιλεῖς μάρτυρες τοὺς ἐν τῷ διωγμῷ διαπεπτωκότας ἐθεράπευσαν.
γ Ποία τῷ μάρτυρι Ἀττάλῳ δι' ὀνείρατος γέγονεν ἐπιφάνεια.
δ Ὅπως οἱ μάρτυρες τὸν Εἰρηναῖον διὰ γραμμάτων παρετίθεντο.
ε Ὡς Μάρκῳ Αὐρηλίῳ Καίσαρι τῶν παρ' ἡμῶν ἐπευχαῖς οὐρανόθεν ὁ θεὸς ἐπήκουσεν.
ϛ Τῶν ἐπὶ Ῥώμης ἐπισκοπευσάντων κατάλογος.
ζ Ὡς καὶ μέχρι τῶν τότε καιρῶν δι' αὐτῶν τῶν πιστῶν ἐνηργεῖτο τὰ παράδοξα.
η Ὅπως ὁ Εἰρηναῖος τῶν θείων μνημονεύει γραφῶν.
θ Οἱ κατὰ Κόμοδον ἐπισκοπεύσαντες.
ι Περὶ Πανταίνου τοῦ φιλοσόφου. Περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως.
ιβ Περὶ τῶν ἐν Ἱεροσολύμοις ἐπισκόπων.
ιγ Περὶ Ῥόδωνος καὶ ἧς ἐμνημόνευσε κατὰ Μαρκίωνα διαφωνίας.
ιδ Περὶ τῶν κατὰ Φρύγας ψευδοπροφητῶν. Περὶ τοῦ κατὰ Βλάστον ἐπὶ Ῥώμης γενομένου σχίσματος.
ιϛ Ὅσα περὶ Μοντανοῦ καὶ τῶν μετ' αὐτοῦ ψευδοπροφητῶν μνημονεύεται.
ιζ Περὶ Μιλτιάδου καὶ ὧν συνέταξε λόγων.
ιη Ὅσα καὶ Ἀπολλώνιος τοῖς κατὰ Φρύγας ἀπήλεγξε, καὶ τίνων ἐμνημόνευσεν.
ιθ Σεραπίωνος περὶ τῆς τῶν Φρυγῶν αἱρέσεως.
κ Ὅσα Εἰρηναῖος τοῖς ἐπὶ Ῥώμης σχισματικοῖς ἐγγράφως διείλεκται.
κα Ὅπως ἐπὶ Ῥώμης Ἀπολλώνιος ἐμαρτύρησεν.
κβ Τίνες κατὰ τούτους ἐπίσκοποι ἐγνωρίζοντο.
κγ Περὶ τοῦ τότε κινηθέντος ζητήματος ἀμφὶ τοῦ πάσχα.
κδ Περὶ τῆς κατὰ τὴν Ἀσίαν διαφωνίας.
κε Ὅπως τοῖς πᾶσι μία ψῆφος περὶ τοῦ πάσχα συνεφωνήθη.
κϛ Ὅσα τῆς Εἰρηναίου φιλοκαλίας εἰς ἡμᾶς κατῆλθεν.
κζ Ὅσα καὶ τῶν λοιπῶν τῶν τηνικάδε συνόντων.
κη Περὶ τῶν τὴν Ἀρτέμωνος αἵρεσιν ἐξ ἀρχῆς πεφρονηκότων· οἷοί τε τὸν τρόπον